τειν κενὰ ὀνόματα μηδὲ ληρεῖν περὶ ὧν οὐκ ἴσασιν. ὁπόσοι δὲ 18
ἤδη ναῶν ἢ θυσιῶν ἠξιώθησαν, ἐκείνων μὲν καθαιρεθῆναι τὰ
ἀγάλματα, ἐντεθῆναι δὲ ἢ Διὸς ἢ Ἥρας ἢ Ἀπόλλωνος ἢ τῶν
ἄλλων τινός, ἐκείνοις δὲ τάφον χῶσαι τὴν πόλιν καὶ στήλην
ἐπιστῆσαι ἀντὶ βωμοῦ. ἢν δέ τις παρακούσῃ τοῦ κηρύγματος
καὶ μὴ ἐθελήσῃ ἐπὶ τοὺς ἐπιγνώμονας ἐλθεῖν, ἐρήμην αὐτοῦ
καταδιαιτησάτωσαν.

*ΖΕΥΣ*

Τοῦτο μὲν ὑμῖν τὸ ψήφισμα δικαιότατον, ὦ Μῶμε· καὶ ὅτῳ 19
δοκεῖ, ἀνατεινάτω τὴν χεῖρα· μᾶλλον δέ, οὕτω γιγνέσθω, πλείους
γὰρ οἶδ' ὅτι ἔσονται οἱ μὴ χειροτονήσοντες. ἀλλὰ νῦν μὲν ἄπιτε·
ὁπόταν δὲ κηρύξῃ ὁ Ἑρμῆς, ἥκετε κομίζοντες ἕκαστος ἐναργῆ
τὰ γνωρίσματα καὶ σαφεῖς τὰς ἀποδείξεις, πατρὸς ὄνομα καὶ
μητρός, καὶ ὅθεν καὶ ὅπως θεὸς ἐγένετο, καὶ φυλὴν καὶ φράτορας.
ὡς ὅστις ἂν μὴ ταῦτα παράσχηται, οὐδὲν μελήσει τοῖς ἐπιγνώμοσιν εἰ νεὼν τις μέγαν ἐν τῇ γῇ καὶ οἱ ἄνθρωποι θεὸν αὐτὸν
εἶναι νομίζουσιν.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415775663/165 UNIVERSITÄT LEIPZIG